Universitätsbibliothek Paderborn

# Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

XI. De exilio Timothei Aeluri, & de Ordinatione Timothei Salofacioli. Item de Gennadio & Acacio Constantinopolitanis Episcopis.

urn:nbn:de:hbz:466:1-14162

Visual Library

ἰσραηλιτικοῦ λαοῦ. πάντα τὸν ὑπὸ τὴν σὴν ὁσιότητα εὐλαβῆ κλῆρον, καὶ τὸν εὐλογημένον καὶ πιστότατον λαὸν, ἐξ ἐμοῦ προσειπεῖν παρακλήθητι.

## Κεφ. ια'.

Περὶ τῆς ἐξορίας τιμοθέου τοῦ αἰλούρου, καὶ τῆς χειροτονίας τιμοθέου σαλοφακιόλου, καὶ περὶ γενναδίου καὶ ἀκακίου τῶν κωνσταντινουπολιτῶν.

Ἐπὶ τούτοις τιμόθεος ἐξορίαν κατακρίνεται, κελευσθεὶς καὶ αὐτὸς τὴν γαγγρηνῶν οἰκεῖν. οἱ δ' οὖν τῆς ἀλεξανδρέων, διάδοχον προτερίου τιμόθεον ἐπίσκοπον ἕτερον προχειρίζονται· ὃν οἱ μὲν ἐκάλουν βασιλικὸν, οἱ δὲ σαλοφακίαλον. ἀνατολίου δὲ τελευτήσαντος, τὸν θρόνον τῆς βασιλευούσης διαδέχεται γεννάδιος. καὶ μετ' αὐτὸν ἀκάκιος, ὃς τοῦ καταγωγίου τῶν ὀρφανῶν προειστήκει κατὰ τὴν βασιλεύουσαν πόλιν.

## Κεφ. ιβ'.

Περὶ τοῦ γεγονότος ἐν ἀντιοχείᾳ σεισμοῦ μετὰ ἔτη τριακόσια, μζ', τοῦ κατὰ τραϊανόν.

Ἀνὰ δὲ τὸ δεύτερον ἔτος λέοντος τῆς βασιλείας, κλόνος τῆς γῆς ἐξαίσιος καὶ βρασμὸς ἀνὰ τὴν ἀντιόχου γίνεται, τινῶν μὲν παρὰ τοῦ κατ' αὐτὴν δήμου προγεγενημένων, πρὸς πᾶσαν ἐκβακχευθέντων μανίαν, πάσης τε θηριώδους ἐπέκεινα γενομένων γνώμης, ὥσπερ δὲ προοίμιον τοῖς τοιούτοις κακοῖς παρασχομένων. γίνεται γοῦν χαλεπώτατος ἕκτον καὶ πεντακοσιοστὸν ἔτος χρηματιζούσης τῆς πόλεως, περὶ τετάρτην ὥραν τῆς νυκτὸς, τετάρτην καὶ δεκάτην ἄγοντος ἡμέραν τοῦ γορπιαίου μηνὸς, ὃν σεπτέμβριον ῥωμαῖοι προσαγορεύουσι, κυρίας ἐπικαταλαβούσης ἡμέρας, ἀνὰ τὴν ἑνδεκάτην ἐπινέμησιν τοῦ κύκλου, ἕκτος τυγχάνειν ἱστορούμενος, ἑπτὰ καὶ τεσσαράκοντα καὶ τριακοσίων διωχηκότων ἐνιαυτῶν, ἐξότου ὁ κατὰ τραϊανὸν γέγονεν· ἐκεῖνος μὲν γὰρ ἔνατον καὶ πεντηκοστὸν καὶ ἑκατοστὸν ἀγούσης τῆς πόλεως ἔτος τῆς αὐτονομίας γέγονεν. ὁ δέ γε ἐπὶ λέοντος, ἕκτον καὶ πεντακοσιοστὸν, ὡς τοῖς φιλοπονήσασιν ἐκτέθειται. οὗτος τοίνυν ὁ σεισμὸς τῆς καινῆς τὰς οἰκίας ἁπάσας σχεδὸν καταβέβληκε, πολυανθρώπου ταύτης γεγενημένης, καὶ οὐδὲν ἐχούσης ἔρημον, ἢ ὅλως ἠμελημένον, ἀλλὰ καὶ λίαν ἐξησκημένης τῇ φιλοτι-

---

A Israelitarum. Universum religiosum Clerum, qui sub tua est sanctitate, & benedictam ac fidelissimam plebem meo nomine salutes velim.

## Cap. XI.

*De Exilio Timothei Æluri & de ordinatione Timothei Salofacioli. Item de Gennadio & Acacio Constantinopolitanis Episcopis.*

Post hæc Timotheus damnatur exilio, & in Gangrensium civitate perinde ac Dioscorus, jussus est degere. B Igitur Alexandrini alterum Timotheum, Proterii successorem elegerunt: quem alii quidem Basilicum, alii verò Salofaciolum nominabant. Interim mortuo Anatolio, Episcopatum urbis regiæ sortitus est Gennadius; cui successit Acacius, qui orphanorum hospitio præfectus fuerat.

## Cap. XII.

*De terræ motu, qui contigit Antiochiæ, trecentis & quadraginta septem annis post illum, qui temporibus Trajani contigerat.*

C Porro anno secundo imperii Leonis, ingens terræ motus ac successio contigit Antiochiæ, cum quædam à populo civitatis illius facta essent, plena furoris ac dementiæ, ipsamque bestiarum feritatem longe superantia. Quæ quidem tantæ cladis velut procemium quoddam extiterunt. Accidit autem ingens hæc calamitas, anno quingentesimo sexto à conditu urbis Antiochiæ, circa horam noctis quartam, die quartodecimo mensis Gorpiæi, quem Romani Septembrem vocant; imminente die Dominico, indictione undecima. Sextus hic ter- D ræ motus accidisse dicitur, trecentis quadraginta & septem annis elapsis ab illo terræ motu, qui Trajani temporibus contigerat. Nam ille quidem terræ motus sub Trajano accidit, anno centesimo & quinquagesimo nono, ex quo civitas libera & sui juris fuerat appellata. Hic autem Leonis Augusti temporibus, contigit año sexto & quingentesimo, ut produnt Scriptores diligentissimi. Porro hic terræ motus universas propemodum ædes subvertit urbis Novæ, quæ quidem incolarum multitudine abundabat, nec ullam partem vacuam habebat aut neglectam: sed magnopere exculta erat atq; ornata, ob